UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Eustathio Presbytero. 170.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἐπιστύψας αὐτῆς τὸ φορτικὸν ἄριστος εἶναί σοι παραινέτης ἔδοξεν, ἅτε γράψας ἃ μετὰ σεμνότητος πολλῆς ἐπιστύφειν τοὺς ἀκούοντας πέφυκεν, ἄκουε αὐτοῦ λέγοντος οὐ τὸ πένεσθαι ἐπονείδιστον πρᾶγμα ἡγούμενος, τὴν τῆς φιλοσοφίας καὶ πάσης ἐπιστήμης τε καὶ τέχνης μητέρα.

Ἰσιδώρῳ Διακόνῳ. ρξθ.

Τὸ νικᾶν ἀπὸ τοῦ κακῶς ποιεῖν, σατανικῶν ἐστὶ θεσμῶν. διά τοι τοῦτο ἐν τοῖς ἐκείνῳ τελουμένοις Ὀλυμπικοῖς ἀγῶσιν, οὕτω στεφανοῦνται οἱ ἀγωνιζόμενοι, ἀλλ' ἐν τῷ σταδίῳ τοῦ Χριστοῦ ἐναντίος ἐστὶν ὁ τῶν στεφάνων νόμος. τὸν πληττόμενον γὰρ, οὐ τὸν πλήττοντα στεφανοῦσθαι νενομοθέτηται. ὡς μὴ τῇ νίκῃ μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς νίκης τὸ θαῦμα γίνεσθαι μεῖζον. ὅταν γὰρ τὰ παρὰ ἀνθρώποις ὄντα νίκης ταῦτα ἥττης ποιητικὰ ἀποφανθῇ, τότε θεία δύναμις, τότε οὐράνιον στάδιον, τότε ἀγγελικὸν θέατρον εἰκότως εἶναι πιστεύεται.

Εὐσταθίῳ πρεσβυτέρῳ. ρο.

Λαμπρᾶς εὐφημίας παρὰ πάντων σοι δικαίως ἐγειρομένης, ἀγρυπνεῖν ἂν εἴης δίκαιος, ὅπως ταύτην τοῖς μετέπειτα πραττομένοις ἱδρύσῃς.

Μαρτινιανῷ, Ζωσίμῳ, Μάρωνι, Εὐσταθίῳ. ροα.

Εἰ μὲν ἦν τις, ᾧ τί καλέσας ὑμᾶς τῆς ὑμετέρας ἀναλγησίας καθάψομαι, ὃ τὸ μέλλον ἐγγυησόμενος, καὶ καταστήσων δῆλον, ὡς οὐδεὶς ὑμῶν ἔσται ὁ τοιαῦτα ἐπιτολμήσων δρᾶσαι, οἷα ἐδράσατε, ἀσμένως ἂν τὴν ἡσυχίαν ἦγαγον, καὶ τῆς παρελθοῦσιν ἐχαρισάμην τὸ λαθεῖν. ἐπειδὴ δ' οὐδείς ἐστιν ἀξιόχρεως ἐγγυητὴς, ἀναγκαία μοι ἔδοξεν, εἶναι ἡ διὰ τῶν δὲ τῶν γραμμάτων παραίνεσις. ἂν μὲν γὰρ εὕρῃ ὑμᾶς τὴν αὐτὴν νοσοῦντας νόσον, ἴσως ἐργάσεται τὸ

ipſiúſque moleſtiam atque inuidiā aſtrinxit, optimus tibi monitor eſſe viſus eſt, vt qui ea ſcripſerit, quæ cum ingenti grauitate auditorum animos coërcere ſolent, audi eum dicentem: Nequaquam turpem & probroſam rem exiſtimans paupertatem, quæ philoſophiæ, atque omnis artis ac ſcientiæ parens eſt.

Iſidoro Diacono. 169.

Lædendo vincere, ſatanicarum legum eſt. Ac proinde in Olympicis illis certaminibus, quæ in ipſius honorem celebrantur, ſic coronam conſequuntur, qui decertant. At in Chriſti palæſtra contraria coronarum lex eſt. Sic enim lege ſancitum eſt, vt qui percutitur, non qui percutit corona donetur: vt non ob victoriam duntaxat, ſed etiam ob victoriæ modum maius miraculū exiſtat. Nam cùm ea, quæ apud homines victoriam conciliant, hoc afferre conſtat, vt quiſpiam ſuperetur, tum demū diuina virtus, tum cæleſte ſtadium, tum Angelorū theatrū meritò eſſe creditur.

Euſtathio Presbytero. 170.

Cùm luculenta laus ab omnibus tibi excitetur, vigilandum tibi eſt, vt eam inſequētibus rectè factis firmas ac ſtabilias.

Martiniano, Zoſimo, Maroni, Euſtathio. 171.

Si quiſpiā eſſet (ô quo vos nomine nuncupem, vt veſtrum ſtuporem perſtringam) qui futuri ſponſorem ſe præberet, ac perſpicuum faceret neminem veſtrûm fore, qui poſthac eiuſmodi flagitia, quæ perpetraſtis, admitteret, lubens feciſſem vt quieſcerem, ac præteritis ſceleribus, vt in obſcuro atque incognita iacerent, concederem. Quoniam autem huius rei nemo niſi ſatis locuples ſponſor eſt, idcirco neceſſariam hanc literariam admonitionem eſſe duxi. Nam ſi vos eodem adhuc mor-